Martirio di S. Pansofio, c. 11

Λικίνιος λέγει· "Πάντα ὅσα ἔχεις περὶ ἀναστάσεως, καὶ οἱ Ἕλληνες περὶ τούτων διηγήσαντο. Οἶδας ὅτι παραγραφῇ Βιργίλιος διηγήσατο ὅτι μετὰ τὸ κατελθεῖν εἰς τὸν Ἅιδην καὶ μετὰ τὸ παρελθεῖν τὸν τρικέρβηρον κύναν καὶ τοὺς ὅρους τῆς Περσεφόνης καὶ τοῦ Πλούτωνος, ὑπὸ Ἐρινύων διάγεται πᾶσα ψυχὴ καὶ παρέρχεται τὸν πύρινον ποταμόν, διαφερόμενος ὑπὸ ζοφερῶν ἀνδρῶν[1], καὶ εἰσέρχεται εἰς τὸ τεῖχος ἐκεῖνο ἐν ᾧ καθέζεται καὶ κιθαρίζει ὁ Ὀρφεὺς καὶ πᾶσα πνοὴ ὑπακούει τῆς φωνῆς αὐτοῦ. Ἐκεῖ ὁ βῶλος φωτὸς καὶ ἐξ αὐτοῦ τοῦ φωτὸς πᾶσα σάρξ μεταλαμβάνει τὴν λεγομένην ψυχήν· καὶ ὅταν ἀποθάνῃ εἰς αὐτὸν τὸν βῶλον ἀπέρχεται· εἰ δέ τις ἁμάρτῃ, ὑπὸ τῶν Ἐρινύων ἐν κολάσει διάγεται. Ταῦτα ὁ Βιργίλιος διηγήσατο, καὶ ἵνα τί παραγραψώμεθα αὐτόν;"

Ὁ ἅγιος Πανσόφιος λέγει· "Ναί, σχολαστικέ, καὶ ἐγὼ ἀνέγνων. Ἀλλ᾽εἰπέ μοι· τὸν Βιργίλιον τὸν διηγησάμενον τίς ἐγέννησεν;" Ἠπόρει δὲ περὶ τούτων ὁ Λικίνιος λέγων· "Εἴ τινα ἄν μοι σὺ διηγήσῃ, τοῦτο σαφές ἐστιν". Ὁ ἅγιος Πανσόφιος λέγει· "Ἄκουσον καὶ ἐρῶ σοι. Οὗτος ὁ Βιργίλιος ἐγένετο ἐκ πορνείας[2] καὶ ἐρρίφη ὑπὸ τῆς ἰδίας μητρὸς αὐτοῦ. Καὶ ὡς ἐρρίφη, ὣς ἦλθεν ἑσμὸς μελισσῶν καὶ ἐνεφώλευσεν εἰς τὸ στόμα αὐτοῦ καὶ ἀπὸ τοῦ μέλιτος ἐτράφη τὸ παιδίον. Ἀπῆλθεν οὖν ἡ μήτηρ αὐτοῦ τῇ τετάρτῃ θεάσασθαι τὸ γεγονὸς καὶ εὗρεν τὸ παιδίον ζῶν καὶ λαβοῦσα αὐτὸ ἀνεθρέψατο. Τούτου ἀνδρισθέντος ἐδόθη αὐτῷ σοφία οὐρανόθεν καὶ ἐλάλησεν τὰ οὐράνια. Οἱ οὖν σοφοὶ οὗτοι τὴν ματαιότητα τῶν θεῶν εἶχον· μεθήρμοσαν τὴν σοφίαν εἰς ἃ ἐβουλεύσαντο. Ἃ γὰρ ἐλάλησεν ὁ Βιργίλιος, ὁ ἅγιος Παῦλος ἡμῖν διηγήσατο ἐν τῇ ἀποκαλύψει. Ὅπου γὰρ εἶπεν ὅτι ἐστὶν τεῖχος καὶ Ὀρφεὺς καθέζεται καὶ κιθαρίζει καὶ ὑπακούει πᾶσα πνοή, ἐκεῖ ἐστιν ἡ πόλις τοῦ Χριστοῦ· καὶ γὰρ ἐκεῖ ὁ Δαυὶδ ψάλλων καὶ πᾶσα πνοὴ ὑπακούει. Τὸν δὲ πύρινον ποταμὸν ὃν εἶπεν, Ἀχερουσία λίμνη ἐστίν. Τὸν δὲ Πλούτωνα καὶ τὸν τρικέρβηρον κύνα ὃν εἶπεν[3] καὶ τὴν Περσεφώνην ὁ διάβολός ἐστιν ὁ τότε κατακυριεύων τῶν ἀνθρώπων· ἀλλὰ νῦν αἰχμαλώτευσεν αὐτὸν ὁ κύριος κατελθὼν εἰς Ἅιδου, καὶ ἐγένετο ἐκεῖνα μάταια· ἐπὰν γὰρ ἀνομήσωμεν καὶ μὴ δεξώμεθα τὴν χάριν τοῦ θεοῦ, τότε ἐσμὲν ἐν κολάσει, ἐν ᾗ οὐδὲ ὁ Βιργίλιος οὐδὲ ἄλλος τις τῶν θεῶν ῥύσασθαι ἡμᾶς δυνηθῇ".

Τότε ὁ Νικόλαος προσέπεσεν τοῖς ποσὶν αὐτοῦ λέγων· "Κατήχησον κἀμέ, δοῦλε τοῦ θεοῦ· ἡδέως γὰρ ἀληθῶς ἤκουσά σου· ὅπως οὖν ἵνα ῥυσθῶ τῆς κολάσεως ἐκείνης". Ὁ ἅγιος Πανσόφιος λέγει· "Πίστευσον εἰς τὸν θεὸν τὸν βασιλέα τῶν οὐρανῶν, κτλ.

---

[1] ἀνδρῶν ego : αὐτῶν cod. et edd.

[2] Cfr. G. Pasquali, *Il «Virgilio nel Medio Evo» del Comparetti*, ora in Id., *Pagine stravaganti di un filologo*, a cura di C. F. Russo, Firenze 1994, II, pp. 130-131.

[3] Cfr. Verg. *Aen.* VI 417-423.